## 5 (296 K)

Erotianvs p. 116 Nachmanson. γενέτηιςιν· οἱ μὲν "τοῖς γονεῦςι", οἱ δὲ "ςυγγενέςιν", οὕτως Ἀττικῶν λεγόντων, ὡς καὶ Φιλήμων ἐν Κόλακί φηςιν·

> ἀλλ' οὐδὲ γεννήτην δύναμ' εὑρεῖν οὐδένα
> ὄντων τοςούτων, ἀλλ' ἀπείλημμαι μόνος.

## 6 (298 K)

Plutarchvs, *quomodo adulator* 57 a. οὐκ ἀπ' εὐθείας ἐπάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόρρω κυκλοῦται καὶ

> πρόςειςιν οἷον ἀψοφητὶ θρέμματος

ἐπιψαύων καὶ ἀποπειρώμενος.

## 7 (299 K)

Athenaevs 301 d. Μένανδρος Κόλακί φηςι·

> κωβιός, ἠλακατῆνες,
> κυνὸς οὐραῖον.

## 8 (300 K)

Zenobivs ii. 82. βοῦς Κύπριος· ἴςον τῶι ςκατοφάγος εἶ· λέγονται γὰρ οἱ βόες ἐν Κύπρωι ςκατοφαγεῖν· μέμνηται ταύτης (*sc.* τῆς παροιμίας) Μένανδρος ἐν Κόλακι.

## 9

Pollvx vii. 86. τὸ δὲ ςανδάλιον οὐ μόνον Μένανδρος εἴρηκε.